IV. 7 ζ′ *Περὶ ἀθανασίας ψυχῆς·*
οὗ ἡ ἀρχή· εἰ δέ ἐστιν ἀθάνατος ἕκαστος.

IV. 8 η′ *Περὶ τῆς εἰς τὰ σώματα καθόδου τῆς ψυχῆς·*
οὗ ἡ ἀρχή· πολλάκις ἐγειρόμενος.

IV. 9 θ′ *Εἰ αἱ πᾶσαι ψυχαὶ μία·*
οὗ ἡ ἀρχή· ἆρα ὥσπερ τὴν ψυχὴν ἑκάστου φαμέν.

Ἡ μὲν οὖν τετάρτη ἐννεὰς τὰς περὶ ψυχῆς αὐτῆς ὑποθέσεις ἔσχε πάσας. ἡ δὲ πέμπτη ἔχει μὲν τὰς περὶ νοῦ, περιέχει δὲ ἕκαστον τῶν βιβλίων ἔν τισι καὶ περὶ τοῦ ἐπέκεινα καὶ περὶ τοῦ ἐν ψυχῇ νοῦ καὶ περὶ τῶν ἰδεῶν. ἔστι δὲ τάδε·

V. 1 α′ *Περὶ τῶν τριῶν ἀρχικῶν ὑποστάσεων·*
οὗ ἡ ἀρχή· τί ποτέ ἐστιν ἄρα τὸ πεποιηκός.

V. 2 β′ *Περὶ γενέσεως καὶ τάξεως τῶν μετὰ τὸ πρῶτον·*
οὗ ἡ ἀρχή· τὸ ἓν πάντα.

V. 3 γ′ *Περὶτῶνγνωριστικῶνὑποστάσεωνκαὶτοῦἐπέκεινα·*
οὗ ἡ ἀρχή· ἆρα τὸ νοοῦν ἑαυτὸ ποικίλον δεῖ εἶναι.

V. 4 δ′ *Πῶς ἀπὸ τοῦ πρώτου τὸ μετὰ τὸ πρῶτον καὶ περὶ τοῦ ἑνός·*
οὗ ἡ ἀρχή· εἴ τι ἔστι μετὰ τὸ πρῶτον, ἀνάγκη ἐξ ἐκείνου εἶναι.

V. 5 ε′ *Ὅτι οὐκ ἔξω τοῦ νοῦ τὰ νοητὰ καὶ περὶ τἀγαθοῦ·*
οὗ ἡ ἀρχή· τὸν νοῦν τὸν ἀληθῆ νοῦν.

V. 6 ϛ′ *Περὶ τοῦ τὸ ἐπέκεινα τοῦ ὄντος μὴ νοεῖν καὶ τί τὸ πρώτως νοοῦν καὶ τί τὸ δευτέρως·*
οὗ ἡ ἀρχή· τὸ μέν ἐστι νοεῖν.

V. 7 ζ′ *Περὶ τοῦ εἰ καὶ τῶν καθέκαστά ἐστιν εἴδη·*
οὗ ἡ ἀρχή· εἰ καὶ τοῦ καθέκαστον.

V. 8 η′ *Περὶ τοῦ νοητοῦ κάλλους·*
οὗ ἡ ἀρχή· ἐπειδή φαμεν τὸν ἐν θέᾳ τοῦ νοητοῦ.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416137067/44 UNIVERSITÄT LEIPZIG